δ' ὄντος τοῦ ἔξω, καὶ σῶμα ἄπειρον εἶναι δοκεῖ καὶ κόσμοι· τί γὰρ μᾶλλον τοῦ κενοῦ ἐνταῦθα ἢ ἐνταῦθα; ὥστ' εἴπερ μοναχοῦ, καὶ πανταχοῦ εἶναι τὸν ὄγκον. ἅμα δ' εἰ καὶ ἔστι κενὸν καὶ τόπος ἄπειρος, καὶ σῶμα εἶναι ἀναγκαῖον· ἐνδέχεσθαι γὰρ ἢ εἶναι οὐδὲν διαφέρει ἐν τοῖς ἀϊδίοις. ἔχει δ' ἀπορίαν ἡ περὶ τοῦ ἀπείρου θεωρία· καὶ γὰρ μὴ εἶναι τιθεμένοις πόλλ' ἀδύνατα συμβαίνει καὶ εἶναι. ἔτι δὲ ποτέρως ἔστιν, πότερον ὡς οὐσία ἢ ὡς συμβεβηκὸς καθ' αὑτὸ φύσει τινί; ἢ οὐδετέρως, ἀλλ' οὐδὲν ἧττον ἔστιν ἄπειρον ἢ ἄπειρα **[204a]** τῷ πλήθει; μάλιστα δὲ φυσικοῦ ἐστιν σκέψασθαι εἰ ἔστι μέγεθος αἰσθητὸν ἄπειρον. πρῶτον οὖν διοριστέον ποσαχῶς λέγεται τὸ ἄπειρον.[a] *ἕνα μὲν δὴ τρόπον τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, ὥσπερ ἡ φωνὴ ἀόρατος· ἄλλως δὲ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόγις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας. ἔτι ἄπειρον ἅπαν ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφοτέρως.*

[a] *Met.* 1066a35-b7: *Τὸ δ' ἄπειρον ἢ τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέναι διιέναι, καθάπερ ἡ φωνὴ ἀόρατος, ἢ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόλις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας· ἔτι προσθέσει ἢ ἀφαιρέσει ἢ ἄμφω. χωριστὸν μὲν δὴ αὐτό τι ὂν οὐχ οἷόν τ' εἶναι· εἰ γὰρ μήτε μέγεθος μήτε πλῆθος, οὐσία δ' αὐτὸ τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται (τὸ γὰρ διαιρετὸν ἢ μέγεθος ἢ πλῆθος), εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ*

www.scribd.com/Filosofia_in_Ita4

quella parte che sta oltre il cielo[78]. *[25]* E se questa è infinita, anche la realtà corporea risulterebbe esserlo e altresì i mondi[79].

Infatti, perché il vuoto dovrebbe stare in un posto piuttosto che in un altro? Se il vuoto fosse concentrato in un sol luogo, la massa occuperebbe tutta <la parte rimanente>. E poi, se c'è un vuoto e, insieme, un luogo infinito, necessariamente esisterà anche un corpo infinito[80], perchè nelle realtà eterne non c'è differenza fra il possibile e l'essere[81].

*C. Di quale natura è l'infinito?*

*[30]* A questo punto della ricerca sull'infinito si incontra un problema perché tanto chi dice che non esiste, quanto chi dice che esiste si imbatte in un gran numero di assurdità. E poi, in quale modo sarà? Come sostanza, o come accidente in sé per una qualche natura?[82] Ma potrebbe anche non essere né in un modo né nell'altro, e tuttavia esistere l'infinito o cose infinite di numero? **[204a]** Tocca in primo luogo al fisico scoprire se esiste una grandezza sensibile infinita.

La prima cosa da fare è stabilire in quanti modi si dice infinito. *a)* In una prima accezione[83] l'infinito è ciò che non può essere percorso, perché per sua natura non può venire attraversato, come <di per sé> la voce non può essere vista.

*b)* In un altro significato l'infinito è ciò che, pur avendo una direzione, non può essere percorso fino in fondo, o può esserlo solo a fatica; *[5]* oppure, pur avendo per natura una via di percorso e un confine <di fatto> non li ha[84].

*c)* Inoltre, tutto ciò che è infinito è tale o per aggiunta o per divisione, o per l'una e l'altra insieme.

www.scribd.com/Filosofia_in_Ita4